Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: jro-aa

*Φαίδιμος ὁ Βισανθηνός* · Phaedimus of Bisanthe

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 271.1.1 Ἄρτεμι, σοὶ τὰ πέδιλα Κιχησίου εἵσατο υἱὸς
book 271.1.2 καὶ πέπλων ὀλίγον πτύγμα Θεμιστοδίκη,
book 271.1.3 οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερέσχες
book 271.1.4 χεῖρας ἄτερ τόξου, πότνια, νισσομένη.
book 271.5.1 Ἄρτεμι, νηπίαχον δὲ καὶ εἰσέτι παῖδα Λέοντος
book 271.5.2 νεῦσον ἰδεῖν κοῦρον γυῖ’ ἐπαεξόμενον.
book 739.1.1 Αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμείβων,
book 739.1.2 νυμφίον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη
book 739.1.3 δεξαμένη σποδιήν τε καὶ ὀστέα—τὸν δὲ δυσαὲς
book 739.1.4 ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον—,
book 739.5.1 δύσμορον ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
book 739.5.2 ξεῖνε, Τορωναίων εἵλκυσαν ἐς λιμένα.
book 2.1.1 Καλλίστρατός σοι, Ζηνὸς ὦ διάκτορε,
book 2.1.2 ἔθηκε μορφῆς ξυνὸν ἥλικος τύπον·
book 2.1.3 Κηφισιεὺς ὁ κοῦρος· ᾧ χαρείς, ἄναξ,
book 2.1.4 Ἀπολλοδώρου παῖδα καὶ πάτραν σάω.
book 22.1.1 Τόξον μέν, ᾧ Γίγαντος ὤλεσας σθένος,
book 22.1.2 ἴσχε βίης, ἑκάεργ’ ἀνάσσων·
book 22.1.3 οὔ σοι φαρέτρη λύεται λυκοκτόνος·
book 22.1.4 τοῖσδε δ’ ἐπ’ ἠιθέοις ὀιστὸν
book 22.5.1 στρέφειν Ἔρωτος, τόφρ’ ἀλέξωνται πάτρῃ
book 22.5.2 θαρσαλέοι φιλότατι κούρων·
book 22.5.3 πυρὸς γὰρ ἀλκή, καὶ θεῶν ὑπέρτατος
book 22.5.4 αἰὲν ὅδε προμάχους ἀέξειν.
book 22.5.5 Μελιστίωνος δ’, ὦ πατρώιον σέβας

book 22.10 Σχοινιέων, ἐπίηρα δέχθαι.